Τοῦ αὐτοῦ λόγος εἰς τὸν βασιλέα κὺρ Ἀλέξιον τὸν Κομνηνόν, ὅτε ἐπανέζευξεν ἀπὸ τῶν μερῶν τῆς δύσεως· ἡνίκα ὁ πρωτοστάτωρ Μανουὴλ ὁ Καμύτζης, ἐξάδελφος ὢν τοῦ αὐτοῦ βασιλέως, συμπλακεὶς τοῖς βαρβάροις καὶ κατασχεθείς, παρὰ μὲν τοῦ βασιλέως οὐκ ἐξωνήθη, ἠγοράσθη δὲ παρὰ τοῦ Δοβρομήρου Χρύσου τοῦ κατέχοντος τὸν Πρόσακον καὶ τὴν Στρούμμιτζαν· καὶ ἔκτοτε ἐπανέστη τῷ βασιλεῖ μετὰ τοῦ αὐτοῦ Χρύσου, γαμβροῦ ὄντος τῷ αὐτῷ πρωτοστάτορι ἐπὶ θυγατρί, ὃν καὶ ἡττήσας ὁ βασιλεὺς ἐδίωξε. Τότε δὲ καὶ ἀγάπην ἐποίησε μετὰ τοῦ Ἰωαννίτζη τοῦ κατέχοντος τὸν Ζυγόν.

Εὐλογητὸς κύριος ὁ θεός σου, ὃς καὶ ἀπέκλεισε τοὺς ἄνδρας τοὺς ἐπαραμένους τὴν χεῖρα αὐτῶν ἐπὶ τῷ κυρίῳ μου τῷ βασιλεῖ. Ἐκ τῆς βίβλου πορίζομαι τῶν Βασιλειῶν τὰ χαρμόσυνα ταῦτα καὶ εὐάγγελα ῥήματα, νικητικώτατε βασιλεῦ, ἅπερ ὁ μὲν Δαβὶδ εἰς ἀγγελίαν ἐδέχετο πρότερον τῆς τοῦ πατραλοίου παιδὸς ἀναιρέσεως· νυνὶ δ᾽ ἔγωγε εἰς χαριστήρια ᾄδω σοι, τῆς τοῦ ἀποστάτου λαμπρᾶς καθαιρέσεως μέλπων τὰ ἐμβατήρια, καὶ παιανίζων τὰ νικητήρια· κἀκεῖνα ἐπὶ τούτοις τῆς ἱερᾶς τῶν ψαλμῶν δέλτου ἀναλεγόμενος καὶ φθεγγόμενος· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ. Καὶ γὰρ ἀγχίθεε βασιλεῦ, ἐν πολλοῖς καὶ ἄλλοις καὶ σχεδὸν τοῖς πλείοσι πάρισος καὶ ἐφάμιλλος τῷ βασιλεῖ Δαβὶδ καθιστάμενος, καὶ πίναξ ἀκριβὴς τῶν ἐκείνου καλῶν προκείμενος, οὐ δὲ κἀπὶ τοῖς δεῦρο νεαροῖς ὁμοῦ καὶ ἀνιαροῖς συγκυρήμασι, τῆς εἰκασίας ἐξέστης τοῦ θεοπάτορος· παῖς ἐκεῖ θρασυκάρδιος ὑβριστὴς καὶ μεγαλόφρων ὤφθη κατὰ τοῦ φύσαντος, ὃν εὗρον φησὶν